eul_wid: bbs-aa

*Θέογνις ὁ Μεγαρεύς* · Theognis of Megara

# Fragments of Uncertain Placement

*Ἀποσπάσματα ἀδήλου θέσεως*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνικὴ Ἐλεγειακή* Ionic Elegiac
**Domain:** *Ἱστορία* History
**Format:** *Ἔμμετρος* Verse

1 Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσιν πταίσματα τῆς γνώμης, Κύρνε, ταρασσομένης.
2 Οὐδέν, Κύρν’, ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα πημαίνει θυμῶι δειλὰ χαριζομένη.
3 Οὐδέν, Κύρν’, ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός. μάρτυς ἐγώ, σὺ δ’ ἐμοὶ γίνου ἀληθοσύνης.
4 Ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρός, τεθνηκὼς ζωιῶι φθεγγόμενος στόματι.